Apparatus:
4 the ε of Ἀθιόει corr. from υ corr.
6 r. ταμείου
8 r. πάμπολλα
9 r. ταμιείῳ
11 r. καταλαμβάνειν
12 r. γεωργεῖν; τελεῖν
13 r. ἀννωνιακὴν
14 r. ἔγγραφα; ἐπιστεῖλαι; σε
16 r. σύνοψιν; τῶν; γῶν; ῥείθρου
17 r. ποιουμένην
18 r. ἡμεῖς
20 rl. κατασπείρειν

Transcription:
ὑπατείας τῶν κυρίων ἡμῶν Κωνσταντίου καὶ Μαξιμιανοῦ]
τῶ]ν̣ ἐπιφαν̣[εστά]των Καισ̣άρων τὸ̣ [ε.
Αὐ̣ρηλίωι Ἀπίωνι στρατηγῶ̣ι Ἀρσινο̣[είτο]`υ´
παρὰ Αὐρηλίων̣ Π̣αμουτίου Ἀθιόει κα̣ὶ̣ Ἀρριανοῦ̣ Ἀ[ρ]γυλέως ἀμφο-
τέρων κωμάρχ[ων̣] κώμης Φι̣λ̣αδελφίας. ὑπὲρ λυσ̣[ιτε]λίας τοῦ ἱερω-
τάτου ταμίου καὶ̣ τοῦ συστῆναι τὴν ἡμέτεραν [κώ]μ̣ην ποιού-
μεθ̣α. στρατηγῶ̣ν̣ ἄριστε, μακρόθεν τυγχά[νο]μ̣εν κατοικοῦν-
τες τ̣ὴν ἡ̣μέτερ̣αν κώμην, πάνπολλα δὲ χρέως [ἔχο]ν̣τ̣ες τῷ ἱερω-
τάτ̣ῳ ταμίῳ ὑπὲ̣ρ τῆς ἡμετέρα̣ς κώμης οὐ μὴν̣ [ἀλλ]ὰ̣ κ̣αὶ ὑπὲρ
μέρους Τάνεως. ὑ(πὲ̣ρ) τοῦ οὖν εὐθέως δύνασθαι τὰ ὕδ̣[ατα] κ̣αὶ ἡμᾶς
καταλαμβάνιν καὶ ὄνησιν ἔχειν καὶ τοῦ πᾶσαν τὴν̣ γῆν ἡμῶν
γεωργῖν καὶ δύνασθαι τελῖν τὰ ὑπὲρ αὐτῶν δ̣ημό̣σ̣ια τελέσ-
ματα καὶ ἀννωνιακὴ καὶ παντοίας ἐπιβολὰς, ἐπιδίδο̣μέν σοι τάδε
τὰ ἔνγραφα ἀξιοῦντες ἐπιστῖλέ σαι δι᾽ ἑνὸς τῶν πε[ρ]ὶ σὲ ὑπηρετῶν
τῇ κρατίστῃ βουλ̣ῇ διὰ τοῦ ἐνάρχου πρυτάνεως Αὐ[ρ]ηλί[ο]υ Κ̣αστορίω-
νος, ὅπως ἐ̣ργ[άσ]ηται συνοψις τὴν τὸν γῆν σύνο̣ψιν τ̣ῶν ῥ̣ίθο`υ´
καὶ λ̣ιθικῶν ποιουμένα τῶν ἐν κώμῃ Τάνει τοῦ [ὑ̣μ]ετ[έρ(ου)] ν̣ομο`ῦ´,
ἵνα δυνήθωμεν καὶ ἡμῖς τῆς τοῦ λίνου παροχῆς ἀπολαύειν
καὶ πότιμον ὕδωρ ἔχειν καὶ τὸ πεδίον τῆς ἡμ̣ε̣[τ]έ̣ρας κ̣ώμης
κατασπίριν καὶ ἐν τῇ ἰδίᾳ στῆναι καὶ ὄνησιν ἔχ[ει]ν̣ τ̣ῶν ἰδίων. διευτύχ(ει).
(ἔτους) κα / καὶ ιγ / τῶν κυρίων ἡμῶν Διοκ̣λ̣ητιανοῦ καὶ Μαξιμιανοῦ Σ[εβ]ασ̣τ̣ῶν
καὶ Κωνσταντί(ου)
καὶ Μαξιμιανοῦ τῶν ἐπιφανεστάτων̣ Καισάρων Παχὼν α̣. (2nd hand) Α̣ὐρήλιοι
Παμο̣ῦτις καὶ Ἀρριανὸς ἐπιδε[δ]ώ̣καμεν. Αὐρήλιος Κο̣π̣[ρ]ῆ̣ς Εὐπόρου
ἔγρ̣ά̣ψα ὑ(πὲρ) αὐτῶν ἀγραμμά̣[τ]ω̣ν.